Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: gea-aa

*Πρωταγορίδης ὁ Ἱστορικός* · Protagorides the Historian

# On the Daphne Festivals

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

t1-3 ΠΕΡΙ ΤΩΝ ΕΠΙ ΔΑΦΝΗι ΠΑΝΗΓΥΡΕΩΝ. E LIBRO PRIMO.

1 Athenaeus IV: Τίνα δ’ ἦν τὰ Αἰγύπτια δεῖπνα Πρωταγορίδης ἐν τῷ πρώτῳ Περὶ Δαφνικῶν ἀγώνων διδάσκει ἡμᾶς λέγων οὕτως· «Τρίτη δ’ ἐστὶν ἰδέα δείπνων Αἰγυπτιακὴ, τραπεζῶν μὲν οὐ παρατιθεμένων, πινάκων δὲ περιφερομένων.» E LIBRO SECUNDO.

2 Idem IV: Πρωταγορίδης δ’ ὁ Κυζικηνὸς ἐν δευτέρῳ Περὶ τῶν ἐπὶ Δάφνῃ πανηγύρεών φησι· «Παντὸς δ’ ὀργάνου καταμίτου ἧπται, κροτάλων, ὑποφανοῦ (?) πανδούρου, τῷ τε ἡδεῖ μοναύλῳ τὰς ἡδίστας ἁρμονίας ἀναμινυρίζει.» Idem IV: Τοῦ δὲ καλουμένου πανδούρου Εὐφορίων μὲν, ὡς προείρηται, καὶ Πρωταγορίδης ἐν δευτέρῳ Περὶ τῶν ἐπὶ Δάφνῃ πανηγύρεων.

**ΚΩΜΙΚΑΙ ΙΣΤΟΡΙΑΙ. E LIBRO SECUNDO. Athenaeus III: Πρωταγορίδης δ’ ἐν δευτέρῳ τῶν Κωμικῶν ἱστοριῶν, τὸν Ἀντιόχου τοῦ βασιλέως κατὰ τὸν ποταμὸν διηγούμενος πλοῦν, λέγει τι καὶ περὶ ἐπιτεχνήσεως ψυχρῶν ὑδάτων, ἐν τούτοις· «Τὴν γὰρ ἡμέραν ἀνηλιάζοντες αὐτὸ, τῆς νυκτὸς ἀπηθοῦντες τὸ παχύτατον, τὸ λοιπὸν ἐξαιθριάζουσιν ἐν ὑδρίαις κεραμέαις ἐπὶ τῶν μετεωροτάτων μερῶν τῆς οἰκήσεως, δι’ ὅλης τε τῆς νυκτὸς δύο παῖδες ὕδατι τὰ τεύχη καταρραίνουσιν.**

4 Ὄρθρου δὲ καθαιροῦντες, καὶ τὴν ὑποστάθμην πάλιν ὑποσπῶντες, λεπτόν τε ποιοῦντες αὐτὸ καὶ πρὸς ὑγίειαν οἷον ἄριστον, ἐν ἀχύροις τιθέασι τὰς ὑδρίας, εἶθ’ οὕτως χρῶνται, χιόνος οὐδ’ ἡντινοῦν χρείαν ἔχοντες.»

Eulogikon public reading copy · View original HTML at eulogikon.org